UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eidem. 281.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἐπὶ τὴν ἰατρικὴν βαδίζουσιν. οὕτως οὐδ' ἀκμαζούσης τῆς λύπης δεῖ τῷ ὑπὸ ταύτης μεθύοντι ἐπιπλήττειν. εἰ δὲ μὴ λήσομεν τὸν λόγον, ὥσπερ κολλύριον ἄχρηστον καθιστῶντες, ἀλλὰ συλλυπηθέντες βραχὺ καὶ ἐνδόντες ὀλίγον ῥᾶσαι τὸ πάθος. οὕτως ἐπὶ τὴν θεραπείαν ὁδεῦσαι. οὗ δὴ καὶ ἡμεῖς χάριν βραδύτερον ἐπὶ τὴν θεραπείαν τὴν σὴν ἐληλύθαμεν. ἀνάνευσον τοιγαροῦν, ὦ φίλος, ἐκ τῆς ἀκράτου λύπης, ἐννοῶν ὅτι οὔτε μόνος, οὔτε πρῶτος τοῦτο πέπονθας. ἀλλὰ κοινόν ἐστι πάθος, καὶ ὅσον οὐδέ πω καὶ ἡμεῖς τὴν αὐτὴν βαδιούμεθα ὁδὸν, λόγον τῶν πεπραγμένων ὑφέξοντες.

nihil remittat, ac dum denique ad medendum se conferunt: codẽ modo nec vigente mœrore, eum, qui præ ipsius magnitudine velut temulentia quadam laborat, obiurgare conuenit (nam alioqui sermonem, non secus ac collyrium, inutilem imprudentes reddemus) verùm, posteaquã ad breue tempus mœroris socios nos præbuerimus, atque huiusmodi affectum nonnihil sedari siuerimus, ita demum ad curationem proficisci. Quę quidem etiam nobis causa fuit, cur ad te curandum serius accesserimus. Quamobrem erige te, quæso, amice, ex immodica hac mœstitia: illud cum animo tuo reputans, te nec solum, nec primum in hanc calamitatem incidisse: verùm communem hunc casum esse, nósque iam iámque eandem viam ingressuros, vt rerum in hac vita gestarum rationes reddamus.

Εὐτονίῳ διακόνῳ. σπ'.

Ἐχθροὺς μὲν μὴ ἔχειν τοὺς φιλαρέτους, οἶμαι ἀδύνατον. δυνατὸν δὲ τὴν ἔχθραν καλῶς μεταχειρίσασθαι. εἰ μὲν γὰρ οὐ πταίουσι φιλοσοφοῦντες, ἑαυτοὺς μὲν ὠφελοῦσιν, ἐκείνους δὲ ἀμύνονται. εἰ δὲ πταίουσιν, ὠφελοῦνται παρὰ τῶν ἐχθρῶν. πολλάκις γὰρ προσπεσοῦσα λοιδορία, νόσον ψυχῆς ἢ ἀγνοουμένην, ἢ ἀμελουμένην ἐθεράπευσε. δεῖ γὰρ τοῖς εὐδοκίμοις, ἢ γνησίων φίλων, ἢ διαπύρων ἐχθρῶν. οἱ μὲν γὰρ νουθετοῦντες, οἱ δὲ λοιδοροῦντες ἀποτρέπουσι τῶν πταισμάτων. ἐπειδὴ δὲ νῦν ἡ φιλία ἰσχνόφωνος, μᾶλλον δ' ἄφωνός ἐστι τοῦ παρρησιάζεσθαι. καὶ τὸ μὲν στωμύλον αὐτῆς καὶ θωπευτικὸν λάλον ἐστὶ καὶ γεγωνόφωνον. τὸ δὲ νουθετοῦν καὶ ἐπιπλῆττον ἄφωνον. καὶ ἀκουστέον παρὰ τῶν ἐχθρῶν τὴν ἀλήθειαν, καὶ διορθωτέον.

*Eutonio Diacono.* 280.

Illud quidem minimè fieri posse arbitror, vt inimicos probi viri non habeant: vt autem inimicitiam rectè atque incommodè tractent, fieri potest. Nam si in philosophicæ vitæ curriculo non offendunt, sibiipsis quidem prosunt, illos autem vlciscuntur: si autem offendunt, ab inimicis vtilitatem capiunt. Persępe enim obortum maledictum, animi morbum, aut ignoratum, aut neglectum curauit. Siquidẽ probi & clari viri aut veris amicis, aut acribus & inflammatis inimicis opus habent. Illi siquidem admonendo, isti verò conuitiando à peccatis auertunt.

Τῷ αὐτῷ. σπα'.

Οὐδὲν κολάκων οἶμαι ἀργαλεώτερον, οἱ τῆς τῶν πλουσίων γλώττης,

*Eidem.* 281.

Nihil meo quidem iudicio adulatoribus molestius est, qui de diuitum lingua,

adhibito iureiurando confirmant, si quid illi, etiam quod turpissimum & absurdissimum sit, mirificis laudibus efferre instituant, id omnium optimum ac præstantissimum esse: ac contrà, si illi etiam virtutem ipsam vituperare aggrediantur, eam quàm celerrimè insectantur. Quamobrē cordatis viris vtrumque fugiendum est, nempe & adulari, & adulationibus deliniri. Ambo enim ista, vt hominum risum missum faciam, & incurabile vitium, & intolerandum cruciatum parturiunt.

ἀπηρτημένοι, ὀμνύουσι μὲν ὅτι πάντων ἄριστον εἰ προέλοιντό τι ἐκεῖνοι, καὶ τῶν ἀτοπωτάτων θαυμάσαι, κακίζουσι δὲ ἢ τάχος, εἰ καὶ αὐτὴν ἐπιχειρήσουσι κακίσαι τὴν ἀρετήν. χρὴ τοιγαροῦν τοὺς ἐχέφρονας φεύγειν καὶ τὸ κολακεύειν, καὶ τὸ κολακεύεσθαι. ἄμφω γάρ, ἵνα παρῶ τὸν τῶν ἀνθρώπων γέλωτα, καὶ κακίαν ἀνήκεστον, καὶ τιμωρίαν ἀνύποιστον ὠδίνει.

*Archontio remp. gerenti.* 282.

Illud quidem perquàm exploratum habeo fore, vt si abs te quæram prudentiáne atque ingenij acumine Paulum antecellam, huiusmodi percunctationem arrogantia ducas. Qui igitur id à me effici poscis, quod ille minimè potuit? Nam cùm alato illi agricolæ (vt singulos prætercam, quorum causa vrebatur) & Galatarum natio vsqueadeò subacta & oppressa fuerit, vt in Iudaïsmum propenderet, & Asiatici ipsius verbis animum haud attēderint, & pseudapostoli infestum aduersus eum bellū gesserint, nec tamen propterea quisquam eum accuset, verùm contrà ob institutum ac voluntatem corona donet, ecquid tandem me accusas, quòd cùm permultos, vt abs te dictum est, ad virtutem cohortatus sim, atque etiam induxerim, permultos item à vitio extraxerim, Eusebius & Martinianus, & Zosimus ac Maro consiliis meis haudquaquam obtemperarint? At vide, ne dum me criminari videris, amentiam ipse tuam ridendam propines, vt qui liberi arbitrij regulam ignores, culpámque eorū, qui minimè paruerunt, in eum, qui minimè persuasit, transferas.

Ἀρχοντίῳ πολιτευομένῳ. σπβ.

Μάλα ἀκριβῶς οἶδα, ὅτι εἴ σε ἐροίμην, πότερον ἐγὼ τὴν σύνεσιν ἀμείνων, ἢ Παῦλος· αὐτὴν τὴν ἐρώτησιν εἰς ἀλαζονείαν θήσεις. πῶς οὖν ὃ μὴ ἴσχυσεν ἐκεῖνος παρ' ἐμοῦ ζητεῖς κατορθωθῆναι. εἰ γὰρ ἐκείνῳ τῷ ὑποπτέρῳ γεωργῷ, ἵνα τοὺς καθ' ἕνα παραλείψω, ἐφ' ἧς ἐπυροῦτο, καὶ τὸ Γαλατῶν γένος ἐξεπολεμήθη εἰς Ἰουδαϊσμὸν ἀποκλῖναι. καὶ οἱ ἐκ τῆς Ἀσίας οὐ προσέσχον, καὶ οἱ ψευδαπόστολοι διαπρύσιον ἐπολέμουν μάχην. καὶ οὐδεὶς αὐτὸν αἰτιᾶται, ἀλλ' ἀπὸ τῆς γνώμης στεφανοῖ, δι' ἣν αἰτίαν ἐμὲ αἰτιᾷ, τὸν ὥς φῄς, πολλοὺς μὲν εἰς ἀρετὴν παρακαλέσαντα καὶ πεπεικότα. πολλοῖς δ' ἐκ τῆς κακίας ἐξαρπάσαντα. ὅτι δὲ Εὐσέβιος, καὶ Μαρτινιανός, Ζώσιμός τε καὶ Μάρων, οὐκ ἐπείσθησαν ταῖς παραινέσεσιν, ἀλλ' ὅρα, μὴ δοκῶν ἐμὲ αἰτιᾶσθαι, αὐτὸς ἀνοίας ὀφλήσῃς γέλωτα, ἅτε τὸν τῆς αὐτεξουσιότητος ὅρον ἀγνοῶν, καὶ τὴν αἰτίαν τῶν οὐ πεισθέντων ἐπὶ τὸν οὐ πείσαντα μεταφέρων.

*Theodosio Scholastico.* 283.

Quo tempore Ezechias Hebræorum rex trophæum aduersus Persas, tum omni admiratione maius, tum humano robore atque humana spe sublimius excitatū vidit, tum nimirū morbo percussus est: quò

Θεοδοσίῳ σχολαστικῷ. σπγ.

Ἡνίκα Ἐζεκίας ὁ τῶν Ἑβραίων βασιλεὺς εἶδε τρόπαιον κατὰ Περσῶν ἐγηγερμένον, καὶ θαύματος κρεῖττον, καὶ πάσης ἀνθρωπίνης ῥώμης τε, καὶ ἐλπίδος ὑψηλότερον, τότε δὴ τότε νόσῳ βάλλεται,